αἰκυρεῖ, νοσηλεύεται, παρακαίει, πᾶσαν ὑποδύεται μορφὴν, ὅπως δὴ ὁποιωνῦν μέτων ἐπιτύχῃ γαλήνης καὶ ἠρεμίας, τοὺς ἐπικειμένους ἀποσεισαμένη κινδύνους. προαισθόμενος δῆτα Πεισιςράτου ἐπιβάλλοντος ὅσον ἔπω τῇ Ἀθηναίων πολιτείᾳ, λόγοις τε καὶ ἔργοις καὶ προσποιήσεσι κατασφαλίζεται ἑαυτὸν πρὸς πᾶσαν ὑπόνοιαν.

Γ΄. Προελθὼν εἰς μέσον τῶν μὲν, σοφώτερος, τῶν δ' ἀνδρειότερός εἰμι, φησιν. ἔξεσιν ἄρα τῷ σοφῷ πολιτευομένῳ, ἐπειδὰν ὁ καιρὸς οὕτω πείθῃ ἀνεπιμώμως ἑαυτὸν ἐπαινέσαι. τὰ γὰρ ἰδιώταις ἄκρατον ἀρετὴν ἀσκοῦσι μὴ ξυγχωρούμενα, ἐν τοῖς πολιτεύμασιν ἐνίοτε οὐ μόνον ἔξω παντὸς ὀνείδους, ἀλλὰ πολλάκις ἀποβαίνουσιν ἀρεταὶ ἐς τὸ κοινῇ ξυνοίσον διατεινόμεναι.

Δ΄. Κἀκεῖνο δὲ παρατηρητέον, ὡς οἱ ἐν ὁποιασοῦν πολιτείᾳ μεγαλονοίᾳ καὶ μεγαλοψυχίᾳ ἐξαισίων ἔργων αὐτουργοὶ γενόμενοι, κἂν αὐτοὶ σωφρονῶσιν εἰς ἑαυτοὺς συςελλόμενοι, καὶ μετριωτέρᾳ τύχῃ μετὰ κλέους ἀσφαλοῦς ἠγαπηκότες,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ.Π.Ε.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

πλὴν τὸ συγγενὲς ἐπαιρόμενον ὡς τὰ πολλὰ τοῖς ἐκείνων μεγαλεργήμασι σφαδάζει, καὶ τοὺς ὅρους ὑπεράλλεται. Διὸ ϗ Πεισίστρατος συγγενὴς ὢν Σόλωνος, ἀπεχρήσατο τῇ τοῦ δήμου διαθέσει, ὃν ᾔδει εὐνοοῦντα Σόλωνι· εἴη γοῦν ἂν ἀσφαλέστερον εὐπροσώποις ἐνίοτε σκήψεσι πόῤῥω που ἀποπέμπειν, ἵνα μηδεὶς κίνδυνος τοὺς βρενθυομένους ϗ κομπάζοντας ἐπὶ λαμπροῖς ἔργοις τῶν γένει προσηκόντων.

Ε΄. Παρατηρητέον δὲ ϗ ὅπως ἐπιστέλλων ὁ Πεισίστρατος Σόλωνι πάσῃ μηχανῇ εἰς ἀρετὴν καλλωπίζεται· Οὐδὲ γὰρ ἀσφαλὲς τὸ τυραννοῦν μὴ κατασφαλιζόμενον, οὐχὶ μόνοις ἐξιτήλοις ἀρετῶν ὀνόμασιν, ἀλλὰ βεβαίοις τε ϗ νεανικαῖς ἀρεταῖς. Οἶμαι γοῦν ἐνίους τῶν ἐπιθεμένων ἢ τῇ πατρίδι, ἢ τοῖς ἑαυτῶν δεσπόταις, ϗ οὕτω καθαρῶς ἀνοσίοις πράξεσι τὸ κράτος ἀναδυσαμένους, διὰ δὲ πολλῶν ἐτῶν ἀσφαλῶς ἑαυτοὺς διασώσαντας, τὸ ἐν προοιμίοις ἀνόσιον λευκοτάταις ἀρεταῖς ϗ μεγάλοις προτερήμασιν ἀνορθουμένους, οὕτως ἐπὶ πολὺ εὐδαιμόνως διαβιῶναι. ϗ ταύτῃ ἄρα λύε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

ται τὰ περὶ τῆς θείας προνοίας ἀπορέμενα, τάγε ἐνίες κομιδῆ ταράττοντα, ϗ εἰς ἀσέβειαν ὑποσύροντα. Ἐςι μὲν γὰρ φανερὸν ὡς ἀνεξερεύνητα τὰ βάθη τῆς προνοίας, πλὴν ϗ τῦτο φανερὸν ἔςαι τοῖς ἀνελίττεσι τὰς ἱςορίας, ὅτι δηλαδὴ τῆς μετὰ δόλε ἀρχῆς ἀντιποιησαμένοις, ἀνυπόκριτος μετάνοια, φανερῶν τε ϗ ἀφανῶν ἀρετῶν κόσμος, ἐσθ' ὅτε τὸ πολυχρόνιον τῆς ἀρχῆς ἐπρυτανεύσατο.

ϛ. Στάσεως ἐν Ἀθήναις ἀναῤῥαγείσης ὁ Σόλων μηδ' ἑτέρῳ μέρει προςίθεται. ἰδιωτεῦσαι γὰρ αὐτῷ ἤδη ἔγνωςο, ἀνδρὶ δὲ πολιτευομένῳ μηδαμῶς ἀσφαλὲς ἀπεχθείας δήπεθεν δέει, περιορᾷν τὸ εὔνοῦν καταβαλλόμενον, ϗ ἑαυτὸν συναπολλύμενον, τῦ ἀντιπάλε μὴ τιθασσευομένε τῷ ὑπείκοντι, ἀλλὰ πᾶν ὕποπτον, τὸ μὲν ἤδη, τὸ δὲ μετὰ μικρὸν ἐκ μέσε ποιεμένε. Τὲς δὲ εἰς πόλεμον καθιςαμένων τῶν γειτνιαζόντων ἐθνῶν, εἴτε δέει, εἴτε πολιτικῇ περινοίᾳ, ἢ μείζονος ἀσφαλείας, ἢ κέρδες ἐλπίδι παρασκευαζομένες μὲν, ϗ ἐπὶ ἁδραῖς συντάξεσι πλῆθος ςρατιωτῶν τρέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

φοντας, τῷ δὲ πολέμῳ ἥκις᾽ ἐμπλεκομένους, θεατὰς δὲ μόνον καθεζομένους, καὶ ταμιευομένους τὸν καιρὸν ἐφυῶς, ἔφη τις τῶν πολιτικῶν ὁμοίως διάγειν τοῖς ἐνοικοῦσιν ὑπὸ τῷ ὑπερῴῳ ἐν τῷ μεσαιτάτῳ τῆς οἰκίας ἔνθεν τε καὶ ἔνθεν κακουχουμένοις δηλονότι τῷ τε κάτωθεν ἀναδιδομένῳ καπνῷ, καὶ τοῖς ἄνωθεν ἐπιῤῥέουσι ὕδασιν. οὔτε γὰρ εἰς ἀμφότερα τὰ πολεμοῦντα φιλίαν ὑποκρινόμενοι, καὶ ἀνονήτοις δαπάναις κατατριβόμενοι, τὰς ἑκατέρωθεν ἔχθρας μνῶνται ἑαυτοῖς, καὶ δυςηχήσαντες δυσχερῶς εὑρίσκονται τὸν ἀμυνόμενον.

Ζ΄. Γέγραφε δὲ εἰς ἑαυτὸν ὑποθήκας ὁ σοφὸς Σόλων. ἕκαςος γὰρ νοσούσης αὐτῷ τῆς ψυχῆς, ἄριςος ἰατρός. ἐπειδήπερ ἢ αἰδὼς ἢ δέος ἀπείργει ἐκπομπεῦσαι ἑτέρῳ τὰς ἔνδον ἀμορφίας, ἀλλὰ καὶ τῆς ἀνάγκης τελευταῖον εἰς τοὐμφανὲς ἑλκούσης τοῖς ἀπὸ γλώττης σοφίσμασι κεκοσμημένα, εἰς μέσον προβαίνει τὰ ἐνδομυχοῦντα δεινά, ὁπόσα δ᾽ ἑκάςῳ νοῦς ἀδέκαςος ἴαται ἀδεῶς ἐπιτάσσων φάρμακα κατάλληλα, ἐκεῖνα ταχεῖαν ἅμα καὶ ἀσφαλῆ λαμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ... Κ.τ. Π ΙΩΑΝΝΙΝΑ 2005

βάνει τὴν θεραπείαν. ἃ δὲ καὶ νοὸς ὀξυδέρκειαν διαπέφευγεν ἐν τοῖς ἐνδοτάτῳ μυχοῖς ἐνιζηκότα τῆς ἑκάστου ψυχῆς, ἐκεῖνα Θεὸς μόνος ἰᾶται εὐχαῖς ἀκηράτοις ἐξιλεούμενος, καὶ εἰς οἶκτον ἐπικλώμενος. Τὰ ἔξωθεν τοίνυν χορηγούμενα καμνούσῃ ψυχῇ φάρμακα γενικώτερά εἰσι, πάνυ ἀμυδρὰν ἐνίοτε ἐπικουρίαν ὀρέγοντα· διόλλυσι δὲ ὡς τὰ πολλὰ τὸν ἀπερισκέπτως χρώμενον, οἷα τερατεύεται περὶ τὰ σώματα τὰ παρά τινων ἀγυρτῶν καὶ ἀπατεώνων προφερόμενα. Οὐκοῦν καθάπερ πολιτείαις καὶ μεγάλοις οἴκοις, οὕτω καὶ τοῖς ἐπὶ μέρους ἀπὸ συχνῆς ἀναματτόμενα πείρας εἰσὶν ἔνια ἀπόκρυφα, οἷς οἷον ἀξιώμασιν ἐπερειδόμενοι καὶ διοικούμενοι ἀσφαλῶς διαβιοῦσιν.

Η΄. Οὐκ ἀνέχεται ὁ Σόλων ἐν Ἀθήναις ὑπὸ Πεισιστράτῳ βιοῦν ἀποτροπιαζόμενος τὸν καταλύσαντα τὴν βασιλείαν, ἣν ἔφθη Σόλων διὰ τῆς τῶν νόμων εἰσφορᾶς προπαρεσκευακὼς ἐν ταῖς ψυχαῖς τῶν πολιτῶν. Ὀνομάζει μέντοι γε τὸν Πεισίστρατον ἀποκρινόμενος αὐτῷ ἐς Ἀθήνας μεταπεμπομένῳ, πάν-

Ε.Υ.Δ της Κ.Π.
ΙΩΑΝΝΙΝΑ 2005

των τυράννων βέλτισον, ἢ τὸ συγγενὲς δυσωπέμενος ἢ γεραίρων, ἢ αἰδέμενος βασίλειον χαρακτῆρα, κἂν τυράννῳ προσείη, ἢ μὴ ἀνατρέπων ἄρδην, ἢ ἀποκλείων αὐτῷ εἰ τύχοι τὴν κάθοδον λόγοις ἀνονήτοις, εἰς ἔχθραν ἀναῤῥιπίσας μείζονα Φρόνημα τυραννικὸν, ἢ περικόψας τὸ ἐλεύθερον, ἢ εἰσέτι ἴσως ἀμΦίβολον περὶ τὴν ἐπάνοδον, μήτε τῷ ἀποτόμῳ τῶν λόγων καταδικάσας ἑαυτὸν Φυγὴν ἀένναον, ἢ μελετῶν ὅπῃ ἐγχωροίη καταλῦσαι τὴν Πεισιςράτε τυραννίδα, λόγων ἠπιότητι κηλεῖ, ἢ κοιμίζει τὸ εἰς ὑπόνοιαν καταΦορον.

Ἐν τέτοις δ᾽ ἡμῖν ἔσιν, ἀνασὰς ὁ ἑςιάτωρ ἐπὶ ΦιλοΦροσύνην χωρεῖ, ἢ ἐπιτάττοντος αὐτε, τράπεζα πολυτελὴς παρατίθεται. ἀλλ᾽ ἡ τῆς ὥρας ἀλέα ἐκλύεσα τὸν ςόμαχον μόλις ἅψασθαι συνεχώρει τῶν προκειμένων ὄψων. ἀμέλει τοι ἐπ᾽ ὀλίγον μετειληΦότες δείπνε, πάλιν ἐς λόγες χωρῦμεν, ὕλην ὑποχορηγήσαντος τε Κελτε ἅτε μυρίοις ἐπαίνοις ἐπαίροντος τε βασιλέως Σβεκίας τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α.Ε.Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

γενναῖον, τὸ μεγαλόφρον, τὸ μεγαλεπήβολον, τὸ μεγαλόδωρον, διὰ θαύματος ἄγοντος τὸ ἀκαταμάχητον τῆς αὐτȣ̃ ψυχῆς, τὸ ἐν τοῖς ἅπαξ δεδογμένοις ἔμμονον, ϗ μηδαμῶς ὑπεῖκον ταῖς ἀπὸ τύχης προσβολαῖς, τὸ ἐν τοῖς πολεμικοῖς κατηκριβωμένον, τὴν λιτὴν, ϗ ἀπέριττον δίαιταν, ϗ ἐν πόνοις καρτερίαν, τήν τε πρὸς τȣ̀ς ᾠκειωμένȣς αὐτῷ δαψιλῆ φιλοφροσύνην, ϗ ἱλαρῶν λόγων ἐκτένειαν. Ἀλλ᾽ ὁ Βρεττανὸς ὑπολαβὼν ἔφη, ȣ̓δένα μὲν ἔξαρνον εἶναι κεκοσμῆσθαι τὸν Κάρολον μεγαλονοίᾳ, ϗ γενναιότητι, ϗ τόλμῃ, ϗ ἐν αὐτῷ τῷ τῆς ἡλικίας ἀκμάζοντι τȣ̀ς Ἀλεξάνδρȣ τȣ̃ Μακεδόνος χαρακτῆρας ὑποφαίνειν πως ἐν τῇ ψυχῇ, τὸ δ᾽ ἐπὶ τοσȣ̃τον χρόνον ἀδρανέσι τεφρόμενον ἐλπίσιν ἐν ἀλλοδαπῇ παραμεῖναι, διδόντα τῷ ἀντιπάλῳ ἀμφιλαφῆ καιρὸν παρασπᾷν πόλλ᾽ ἄττα τῆς αὐτȣ̃ βασιλείας, ὅπη, παρείκοι. ϗ εἴτε τῆς ἐκείνȣ πέρα τȣ̃ μετρίȣ σεῤῥότητος, εἴτε τῆς Ὀθωμανῶν ȣ̓κ ἐνδέοντι μεταβολῆς ἐν αἰτίᾳ γεγονυίας, ἔς γε τὸ παρὸν ἐν ἀμφηρίστῳ ὄντως τελευταῖον



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ.Ν.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

ἐς τοιαύτην ἀμηχανίαν συνελαθῆναι, καὶ μό-
λις δι' ἄλλης ὁδοῦ εἰς τὴν πατρῴαν ἀνασωθῆ-
ναι, οὐκ ἔξω μώμου ἂν εἴη. ἀλλὰ τῷ Κελτῷ
μονονουχὶ εἰς τὴν τῶν Σβέκων φύσιν μεταποιη-
θέντι, μηδαμῶς ἀνασχετὸν ἦν, μὴ παρὰ πᾶ-
σι τὸν βασιλέα Σβεκίας δι' εὐφημίας ἄγεσθαι,
ὥστε εἰς θυμὸν ἐξαφθέντος αὐτοῦ, ὀλίγου δεῖν
τὰ τῆς ὁμιλίας εἰς ἔριν προεχώρησεν, εἰ μὴ
ὁ Ἰάκωβος πάνυ θερμῶς ἀπαντήσας, καὶ ἐπι-
βοηθήσας τῷ Βρεττανῷ, τήν τε τῶν παρὰ
βασιλέως Σβεκίας εἰς τὴν Ὀθωμανικὴν αὐ-
λὴν ἀποσταλέντων ὑπουλότητα καὶ ἀπάτην, καὶ
τὸν τρόπον τῆς ἐγχειρήσεως τῶν σκοπουμένων,
τὸν ἥκιστα κατάλληλον τῇ φορᾷ τοῦ χρόνου, καὶ
τῇ καταστάσει τῶν πραγμάτων, τῷ τε ἤθει καὶ
χαρακτῆρι τῶν ἐν τέλει Ὀθωμανῶν καιρίοις
λόγοις ἐκφαυλίσας ὁπωσοῦν ἐπέσχε θυμῷ ζέ-
οντα τὸν Κελτὸν, μηδ' οὕτως ὑπείκοντα, μηδ'
ἀπομνύμενον τὰ δόξαντα, μηδ' ἐπὶ πλέον πα-
ραμεῖναι βουλόμενον, καίτοι γ' ἐγκειμένου καὶ
δυσωπουμένου τοῦ ἑστιάτορος. μὴ φέρων δὴ τὴν ἧτ-
ταν μετ' ὀλίγον ᾤχετο οἴκαδε ἀπιὼν ὁ Κελ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ...
Ε.Υ.Δ. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

τός· ϗ ἦν θαυμάσαι ὅπως ἑτοίμως ἔχουσιν οἱ Κελτοὶ εἰς ἔριδας ϗ μάχας, τὰ αὐτοῖς δοκοῦντα ὁτῳοῦν τρόπῳ κρατῦναι βουλόμενοι, ϗ τὴν μὲν εὐφυΐαν ϗ ἀγχίνοιαν αὐτῶν. τό,τε εἰς φιλίαν ϗ κοινωνίαν ἐπιῤῥεπὲς, ϗ μάλιστα τὸ πρὸς τὸν ἑαυτῶν βασιλέα, ϗ πρὸς τοὺς βασιλέως φίλους ὑπέραγαν τοῦ φίλτρου ἀγαστέον, ϗ πάνυγε· οὐκ ἐπαινετέον δὲ τὸ εἰς ὀργὴν ἕτοιμον, τὸ περὶ τὴν κρίσιν τῶν πραγμάτων ἐπιπόλαιον, τὴν ἐπίμωμον φιλαυτίαν, ϗ τὸ ἅπαξ ἐπειλημμένους ὁποιασοῦν δόξης ἐπὶ τοσοῦτον προϊέναι, ὥστε πάντα λόγον ἀπὸ τῆς ἀντιπάλου μοίρας ἥκοντα ἄρδην ἀποκρουομένους, πολλάκις φιλοτιμίας ὀνόματι παραγούσῃ ἀκαίρῳ στεῤῥότητι, μήτ' αἵματος, μήτε ψυχῆς φείδεσθαι.

Οὐκοῦν ἀπελθόντος τοῦ ἀντιπάλου, ἅτε νικήσας ϗ τρόπαιον ἀράμενος ὁ Βρεττανὸς, μηδαμῶς μὲν λόγων κόμπῳ, σοβαρότητι δέ τινι μεγαλόφρονι ἐπὶ τοῦ προσώπου παρεδήλου τὴν ἀπὸ τῆς νίκης χαράν. αὐτίκα δ' ὡς ἔθος αὐτοῖς ἐν ταῖς μετὰ τῶν ἑταίρων κατ' ἰδίαν ὁ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΤΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

μιλίαις, εἰς ἡδυτέρȣς λόγȣς τραπεὶς, πυνθάνεται παρὰ τȣ̃ Ἰταλȣ̃, ὅπως ἄρ' αὐτῷ χωροίη τὰ τῆς περιηγήσεως; ἅτε δὲ πρὸ πολλῶν ἐτῶν ἐν Βυζαντίῳ διατρίψας ὁ Βρεττανὸς πάνυ γλαφυρῶς ϗ ἀϛείως συμβȣλεύει τῷ νέῳ μὴ ἀπαναίνασθαι, μηδὲ τῶν Ὀθωμανῶν γυναικῶν τὴν περιήγησιν, ἥκιϛα δεδιττόμενον τὴν ἐν τῷ φανερῷ τῶν εὐνȣ́χων φυλακὴν, ϗ τὰς πυκνοτάτας κιγκλίδας, ϗ εἶπε ἐν ἀγορᾷ φανεῖεν τὴν ποικιλίᾳ ϗ μελανίᾳ καλλυμάτων ἐκπλήττȣσαν τȣ̀ς ἀπαντῶντας σκευήν. Καὶ γὰρ τὴν ἐναντίαν αἱ πλείȣς αὐτῶν τρεπόμεναι, ὅσον γε τῶν ἀνδρῶν οἱ πολλοὶ ὥσπερ ἀποτρόπαιον ϗ ἀποφράδα τὴν πρὸς τȣ̀ς Χριϛιανȣ̀ς φεύγȣσι φιλίαν, τοσȣ̃τον αἱ γυναῖκες ἀντιῤῥόπῳ διαθέσει ἐκβακχευόμεναι θηρῶνται πάσῃ μηχανῇ τὴν πρὸς αὐτȣ̀ς ὁμιλίαν. ϗ ἀληθὲς ἄρ' ἐϛὶ τὰς γυναῖκας ὀλιγόφρονας νομίζειν ἐκείνȣς τῶν ἀνδρῶν, ὁπόσοι γ' ἡλπίκασι τὴν ζηλοτυπίαν σωφροσύνης εἶναι φυλακτικήν.

Οὐκοῦν μηδαμῶς προσήκει τόνγε νῦν ἔχοντα ἐν μυχοῖς δόμων λίαν φυλάσσειν τὴν ἄλοχον. ἐρᾷ γὰρ ἡ ψυχὴ τῶν θύραθεν τερπνῶν ϗ ἡδέων, ϗ τῇ στερήσει ἐπιδίδωσι τὰ τῆς ἐφέσεως. αἱ δ' ἐν ἀφθόνῳ ϗ ἀμφιλαφεῖ ἀναστρεφόμεναι θέᾳ πολλάτε βλέπουσαι, ϗ πανταχοῦ παροῦσαι, ϗ λόγων πολλοῖς κοινωνοῦσαι, ἐμπλήσασαι τὴν ὄψιν, ϗ τῇ τοιαύτῃ ἐλευθερίᾳ εὐγενῶς ἐφησυχάσασαι, ϗ ἀπηλαγμέναι τῶν περαιτέρω κακῶν, ἔντιμον βίον γεωργοῦσιν· αἱ δ' ὥσπερ ἐν εἱρκτῇ καθειργμέναι ἐν ἀγωνίᾳ ϗ διηνεκεῖ κινδύνῳ σαλεύουσαις ὡς τὰ πολλὰ ναυάγιον περὶ τὴν σωφροσύνην ὑφίσανται· τό,τε ἄρσεν γὰρ πάνυ λίχνον ἐστὶ περὶ τὸ κρυπτόμενον κάλλος, ϗ οὐ μόνον αὐτῷ, ἀλλὰ ϗ τοῖς φυλάττουσιν ἐπιβουλεύει· ὥστε διὰ ζηλοτυπίαν ἀνήρ τ' ἀχρεῖος ϗ γυνὴ διοίχεται, ὡς ἔφη Μένανδρος. Ὁ δ' Ἰταλὸς ἀπαρεσκόμενος μὲν τῇ συμβουλῇ, κούφῳ δὲ μειδιάματι καλύπτων τὴν διάθεσιν τῆς ψυχῆς, ϗ εὐλαβούμενος τὸ προσκροῦσαι ϗ ἐκεῖνος τῷ Βρεττανῷ, δυσχερῶς, φησιν, ἀποβή-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Δ. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

σεσθαι δὲ τὴν περὶ τὰς Ὀθωμανῶν γυναῖκας πεῖραν πόῤῥω πατρίδος ὄντι, καὶ πολλῶν οὐκ εὐποροῦντι χρημάτων, εἰ γὰρ τῷ Διῒ ἐδέησε χρυσῷ γενομένῳ διὰ τῆς στέγης καταῤῥυῆναι εἰς τὸν κόλπον τῆς ἐρωμένης, ἐν οὕτως ἀπλήστῳ πόλει, οὐδ' ὁ Νηρεὺς μὴ προτείνων ἁδρὰ δῶρα εἰς ἑαυτὸν ἐπιστρέψαι δυνηθεὶς τὰς ἐπὶ κάλλει βρενθυομένας, ὁ δ' Ἰάκωβος ἅτε Ὀθωμανοῦ τινος τῶν πάνυ πλουσίων κόρην ἐς γάμον ἑαυτῷ ἤδη συναψάμενος, οὐκ ἀνασχετὸν ἡγούμενος εἶναι τὴν οὕτω καιρίαν ὕβριν, ἀληθὲς μὲν ἔφη εἶναι τὸ τὰς Ὀθωμανῶν γυναῖκας δεινῶς φέρειν τὴν ὑπὲρ τὸ μέτρον φυλακὴν, καὶ ὡς ἔχει φύσεως τὸ ἀνθρώπινον ἐς τὸ ἀπηγορευμένον διατεινόμενον, καὶ τοῖς κωλύμασιν ὥσπερ ὑπεκκαύμασιν ἀναφλεγόμενον, ἐνίας αὐτῶν εὐκαιρίας ἐπιτυχούσας τῇ περὶ τὴν νόμιμον εὐνὴν ἐπιβουλῇ τὴν τυραννικὴν τῶν ἀνδρῶν ζηλοτυπίαν μὴ διαλείπειν ἀμειβομένας. μάλιστα δ' ὁπόσαι ἀπὸ ἀλλοδαπῆς ἐωνημέναι, καὶ αἵγε πλείους ἀπὸ Ῥωσσίας, ἢ αὐταὶ ἐκεῖναι, ἢ αἱ μητέρες αὐτῶν τῆς ἐν τῇ πατρίδι ἐλευθερίας μεμνημέναι, καὶ

μόνον ῥαδίως ἐπικλῶνται, καὶ ταῖς παρακλήσεσι τῶν προσβαλλόντων ὑπείκουσιν, ἀλλ' οὐκ οἶδ' ὅπως καίτοιγε ἐν κατεψυγμένῳ κλίματι φῦσαι, πῦρ φέρουσιν ἐν τοῖς στέρνοις εἰς παντοδαπὴν Ἀφροδίτην ἐκμαινόμεναι. Πολλαὶ δὲ τῶν αὐτοχθόνων (ἃ γὰρ βεβαίως οἶδα διηγούμενος οὐ ψεύδομαι) σωφροσύνην τε τιμῶσι, καὶ τῶν ἀνδρῶν προπηλακιζόντων αὐτὰς ἀνέχονται μάλα γενναίως, ἐξαίρετον γυναικῶν κλῆρον εἶναι τὴν ὑπομονὴν, καὶ τὴν πίστιν λέγουσαί τε καὶ φρονοῦσαι.

Ἐπεὶ δὲ θερινὴ νὺξ ἐπιπλέον ἀγρυπνεῖν οὐ ξυνεχώρει, λόγων παυσάμενοι, ἕκαστος ὅποι διετέτακτο παρὰ τοῦ ἑστιάτορος χωρήσας μάλα ἡδέως ἐς ὕπνον ἐτράπετο. ἅμα δ' ἀνίσχοντι ἡλίῳ, τὸν ὕπνον οὔπω μεθιέναι βουλόμενον, τῶν βλεφάρων ἀποτιναξάμενοι εἰς τὸ ἀντίπεραν τῆς πόλεως μετὰ τοῦ Ἰταλοῦ, ὥς γε ἤδη ξυνέκειτο, διαπερῶμεν. χειραγωγοῦντος δὲ τοῦ Ἰακώβου εἴς τινος Ὀθωμανοῦ τῶν ἀξιώματι, καὶ πλούτῳ μέγα φρονούντων, ἤδη πορευομένοις ἡμῖν, ἀπαντᾷ καθ' ὁδὸν γέρων ῥάκη

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

περικείμενος, πολλὴν ἐπὶ τῷ προσώπῳ ἐπιδεικνύμενος τὴν ἀγωνίαν, προσειπὼν δὲ τὸν Ἰάκωβον, καὶ ἐς τὸ οὖς ἄττα ψιθυρίσας, ἐντίθησιν εἰς τὴν χεῖρα γραμμάτιον, ὅγε αὐτίκα ἀναπτύξας, καὶ ἀναγνοὺς ἐκεῖνος, δίδωσι κἀμοὶ ἐφ' ᾧ κατ' ἐμαυτὸν ἐπέλθω. εἶχε δὲ οὕτως,

## Ὁ Δυςυχὴς Κορνήλιος Ἰακώβῳ εὖ πράττειν.

Ἐξεσίσοι, ὦ φιλότης, ἀπὸ τοῦ χθὲς προοιμίου εἰκάζειν τὸ περὶ ἐμὲ δρᾶμα, καὶ ἐν ὁποίοις εἴην ἤδη δεινοῖς· οὐδὲ λέληθε τὴν σὴν φιλανθρωπίαν μέγα φάρμακον εἶναι δυςυχοῦσι φίλον παρόντα παραμυθούμενον, καὶ πάσῃ μηχανῇ τὴν ἐπιβολὴν τῶν χαλεπῶν ἀποσοβούμενον. ἀλλ' ὁ ὄγκος τῆς ἐνσκηψάσης ἐπηρείας οὐδὲν μεῖον τῆς περὶ τοὺς πόδας ἁλύσεως δεσμεῖ καὶ γλῶτταν καὶ χεῖρα. ἔργου τοίνυν ἔχου καὶ πάρεσο ὅτι τάχιςα φίλῳ βοηθήσων μονονουχὶ τὰ λοίσθια πνέοντι. ἔῤῥωσο.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ. Π ΙΩΑΝΝΙΝΑ 2005